λοιπὸν ἀπᾶραι τῆς ζωῆς ταύτης, ἴδωμεν ὑμᾶς ἐν τῇ λαμπρότητι τῶν ἁγίων, μετὰ τῶν δι᾽ ὑπομονῆς καὶ πάσης ἐπιδείξεως ἀγαθῶν ἔργων εὐδοκιμούντων στεφανωθέντας.

## CCXXIII

## ΠΡΟΣ ΕΥΣΤΑΘΙΟΝ ΤΟΝ ΣΕΒΑΣΤΗΝΟΝ

**1** Καιρός, φησί, τοῦ σιγᾶν καὶ καιρὸς τοῦ λαλεῖν, τοῦ Ἐκκλησιαστοῦ λόγος. Οὐκοῦν καὶ νῦν, ἐπειδὴ αὐτάρκης ὁ τῆς σιωπῆς ἐγένετο χρόνος, εὔκαιρον λοιπὸν ἀνοῖξαι στόμα εἰς φανέρωσιν τῆς ἀληθείας τῶν ἀγνοουμένων, ἐπεὶ καὶ ὁ μέγας Ἰὼβ πολὺν χρόνον τὰς συμφορὰς ἤνεγκε σιωπῇ, αὐτῷ τούτῳ τὴν ἀνδρείαν ἐπιδεικνύμενος τῷ ἐγκαρτερεῖν τοῖς δυσφορωτάτοις πάθεσιν. Ὅτε δὲ ἱκανῶς ἐν τῇ σιωπῇ διῆλθε καὶ διέμεινεν ἐν τῷ βάθει τῆς καρδίας ἀποστέγων τὴν ἀλγηδόνα, τότε ἀνοίξας τὸ στόμα ἐφθέγξατο ἐκεῖνα ἃ πάντες ἴσασι. Καὶ ἡμῖν τοίνυν τρίτον τοῦτο ἔτος τῆς σιωπῆς ζηλωτὸν ἐγένετο τοῦ προφήτου τὸ καύχημα λέγοντος· « Ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς. » Διὸ ἐναπεκλείσαμεν τῷ βάθει τῆς καρδίας ἡμῶν τὴν ἐκ τῆς συκοφαντίας ἡμῖν ἐγγινομένην ὀδύνην. Τῷ ὄντι γὰρ συκοφαντία ἄνδρα ταπεινοῖ καὶ συκοφαντία περιφέρει πτωχόν. Εἰ οὖν τοσοῦτον τὸ ἐκ τῆς συκοφαντίας κακὸν ὥστε καὶ τὸν τέλειον ἤδη (τοῦτο γὰρ διὰ τῆς